
Ο ΑΓΙΟΣ
ΙΕΡΩΝΥΜΟΣ

# Παράκλησις Ὁσίου ΙΕΡΩΝΥΜΟΥ

**Ποίημα Γεροντίσσης Ἰσιδώρας Ἁγιεροθεϊτίσσης**

**Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ′ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ· εἶτα τά Τροπάρια. Ἦχος δ′. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.**

Τῶν ἀρετῶν τόν γνησιώτατον φίλον, τόν τῆς σοφίας ἱερώτατον μύστην, θεολογίας ὄργανον, καλῶν ἐραστήν· δεῦτε εὐφημήσωμεν, Ἱερώνυμον ὕμνοις, οὗτος τῆς ἀσκήσεως τούς κανόνας φυλάξας, ἐν Παλαιστίνῃ ἵδρυσε μονάς, ἔνθα παρθένων, χορόν καθωδήγησεν.

Δόξα. Ὅμοιον.

Τῷ Γρηγορίῳ τῷ κλεινῷ Θεολόγῳ, μαθητευθείς ὦ Ἱερώνυμε πάτερ, Εὐαγγελίου ἔμαθες τάς θείας ἀρχάς, ἄριστος γενόμενος, ἑρμηνεύς τῶν Γραμμάτων, ὄργανον τοῦ Πνεύματος, συγγραφεύς πλείστων βίβλων, τῆς ἡσυχίας στῦλος ἀκλινής, τῆς ἀληθείας, ὁ μέγας διδάσκαλος.

Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε…

**Ὁ Ν′ (50) Ψαλμός.**

**Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Τόν θεόσοφον Ἱερώνυμον τιμῶ. Ἰσιδώρας.***

Ὠιδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Τό εὔχρηστον σκεῦος τῆς ἐκλογῆς, τῆς γνώσεως λύχνον, τῆς σοφίας ὑφηγητήν, Γραμμάτων διδάσκαλον τόν μέγαν, τόν Ἱερώνυμον δεῦτε τιμήσωμεν.

Ὁ βίος σου ἄμεμπτος καί ἁγνός, ἡ σή πολιτεία, σεμνοτάτη καί καθαρά, οἱ τρόποι σου σώφρονες καί θεῖοι, ὦ Ἱερώνυμε Πάτερ ἀοίδημε.

Νυκτός Ἱερώνυμε ἱερέ, ἀπέθου τό σκότος καί τά ἔργα τά τοῦ φωτός, εἰργάσω σπουδῇ σου φιλοπόνῳ, ὡς τῆς ἡμέρας υἱός περιώνυμος.

Θεοτοκίον.

Θεῶσαι βουλόμενος ὁ Θεός, Ἀδάμ τόν φθαρέντα, παραβάσεως τῷ καρπῷ, ἐν μήτρᾳ Σου ᾤκησε Παρθένε, καί ἀδιάφθορον ταύτην ἐφύλαξεν.

Ὠιδή γ΄. Οὐρανίας ἁψῖδος.

Ἐκ τῆς Δύσεως ἄστρον, ὡς φωτεινόν ἔλαμψας, πᾶσαν οἰκουμένην αὐγάσας τῇ ὡραιότητι, τῆς πολιτείας τῆς σῆς, ὦ Ἱερώνυμε Πάτερ, καί πιστῶν ἐφαίδρυνας, τά αἰσθητήρια.

Ὀφθαλμούς σου οὐδόλως, εἰς νυσταγμόν ἔδωκας, οὐδέ τοῖς βλεφάροις σου ὕπνον, ὦ

Ἱερώνυμε, ἀλλ᾽ ἀγρυπνῶν τῷ Θεῷ, ἀκαταπαύστως ὁμίλεις, ὡς πρός φίλον ἔγγιστα, διαλεγόμενος.

Συγγραφέα σε βίβλων, τῶν ἱερῶν ἔγνωμεν, ἔσοπτρον λαμπρόν τῆς σοφίας, καί τῆς συνέσεως, πνευματικόν ὁδηγόν, τῶν εὐσεβῶς διαγόντων, καί κρατῆρα γνώσεως, ὦ Ἱερώνυμε.

Θεοτοκίον.

Οὐρανῶν πλατυτέρα, ἡ Σή γαστήρ δέδεικται, Ἄχραντε Παρθένε Μαρία, Θεοχαρίτωτε, τόν τοῦ παντός Ποιητήν, καί συνοχέα τῶν ὅλων, ἐν σαρκί γάρ ἔτεκες, ἄφθορος μείνασα.

Ἀξίωσον, ἡμᾶς μανθάνειν Κυρίου τάς διατάξεις, καί φυλάττειν ἐπιμελῶς αὐτάς Ἱερώνυμε, διδάσκαλε, θείας φιλοσοφίας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ…

**Ο Ιερεύς Δέηση**

Κάθισμα. Ἦχος β᾽. Πρεσβεία θερμή.

Σοφίας Θεοῦ, τόν οἶκον τόν ἀρίζηλον, χαρίτων πολλῶν, τό σκεῦος τό πολύτιμον, τῶν Γραφῶν τόν εὔγνωστον, συγγραφέα ᾄσμασι στέψωμεν, τοῦ Παρακλήτου ὄργανον τερπνόν, τόν μέγα, καί θεῖον Ἱερώνυμον.

Ὠιδή δ᾽. Εἰσακήκοα, Κύριε.

Φιλοσόφων τόν ἔξαρχον, Παρακλήτου ὄργανον τό εὐάρμοστον, Ἱερώμυμον τιμήσωμεν, καί αὐτοῦ τούς τρόπους ἐπαινέσωμεν.

Ὁλοτρόπως ἐδούλευσας, μάκαρ Ἱερώνυμε τῷ Κυρίῳ σου, καί Αὐτοῦ τό θεῖον θέλημα, καθαρᾷ καρδίᾳ σου ἐτέλεσας.

Νουνεχῶς Ἱερώνυμε, κόσμου τάς τερπνότητας ἐγκατέλειπες, καί εἰς ἔρημον κατώκησας, ἐν ἀσκήσει ἄκρα τελειούμενος.

Θεοτοκίον.

Ἰησοῦν τόν Θεάνθρωπον, ἀπειράνδρως τέτοκας Μητροπάρθενε, Παναγία καί διέμεινας, ὡς πρό τόκου πάλιν ἀδιάφθορος.

Ὠιδή ε΄. Φώτισον ἡμᾶς.

Ἔρωτι Θεοῦ, Ἱερώνυμε φλεγόμενος, τῆς ἀσκήσεως ἐβάδισας ὁδόν, σχῆμα Ἀγγέλων, ἐν συνέσει ἐνδυσάμενος.

Ῥήματα ζωῆς, ἐμελέτας Ἱερώνυμε, ἐν καρδίᾳ σου ἡμέρας καί νυκτός, οἰκειοτρόπως, τῷ Θεῷ διαλεγόμενος.

Ὢ τῶν θαυμαστῶν, μεγαλείων Ἱερώνυμε, δι΄ὧν Κύριος Θεός ἐπί τῆς γῆς, τήν σήν πορείαν, ἐξαιρέτως ἐθαυμάστωσεν.

Θεοτοκίον.

Νέον ἐπί γῆς, ὡς παιδίον ἀπεκύησας, τόν Θεόν τόν πρό αἰώνων Μαριάμ, καινοποιοῦντα, τούς βροτούς δι᾽ ἀγαθότητα.

Ὠιδή στ΄. Τήν δέησιν.

Ὑψούμενος, πρός Θεόν τόν Ὕψιστον, Ἱερώνυμε θεόληπτε Πάτερ, ἔξω σαρκός καί τοῦ κόσμου ἐγένου, καί τά οὐράνια κάλλη ἑώρακας, ἅ νοῦς ἀνθρώπου οὐ νοεῖ, ὀφθαλμός οὐδέ πάλιν τεθέαται.

Μελέτημα, προσφιλές σου ἔσχηκας, τοῦ θανάτου τήν ὠφέλιμον μνήμην, καί ὡς εἰκός ἀπενέκρωσας πάθη, τά τῆς σαρκός σου, σοφέ Ἱερώνυμε· ζωῆς διό ἀληθινῆς, κληρονόμος ἐν χάριτι γέγονας.

Ὁλόφωτος, ὡς λαμπάς τά ἔργα σου, διαλύουσιν ἀγνοίας τό σκότος, καί τήν αὐγήν, Ἱερώνυμε Πάτερ, τῆς ἀνεσπέρου ἡμέρας προβάλλουσιν· καί νῦν οἰκεῖς ἐν οὐρανοῖς, ἐν σκηναῖς τοῦ Φωτός ἀγαλλόμενος.

Θεοτοκίον.

Νηδύϊ Σου, καθαρᾷ ἐχώρησας, τόν ἀχώρητον παντί Θεοτόκε, τόν Ποιητήν οὐρανοῦ καί τῆς γῆς τε, Ὅν τῶν Ἀγγέλων αἰνοῦσι τά τάγματα· Αὐτόν δυσώπει μητρικῶς, λυτρωθῆναι ἡμᾶς πάσης θλίψεως.

Ἀξίωσον, ἡμᾶς μανθάνειν Κυρίου τάς διατάξεις, καί φυλάττειν ἐπιμελῶς αὐτάς Ἱερώνυμε, διδάσκαλε, θείας φιλοσοφίας.

Ἄχραντε, ἡ διά λόγου…

**Ο Ιερεύς Δέηση**

**Κοντάκιον. Ἦχος β′. Προστασία τῶν Χριστιανῶν.**

Τῇ σοφίᾳ τῶν θεοπειθῶν διδαγμάτων σου, καί τῷ πλούτῳ τῶν πνευματικῶν συγγραμάτων σου, κατευθύνεις ἐν ἀγαθοῖς τάς τρίβους τῶν πιστῶν, ὁδόν εὔθετον τῶν ἐντολῶν, ὑποδεικνύων εὐχερῶς, διά λόγων καί πράξεων· σέβοντες οὖν πρεπόντως, τήν θείαν σου πολιτείαν, ἀναβοῶμεν ἐν χαρᾷ, σοί τό χαῖρε Ἱερώνυμε.

**Οἱ Ἀναβαθμοί· τό α′ ἀντίφωνον τοῦ δ′ ἤχου.**

**Προκείμενον·** *Τό στόμα μου λαλήσει σοφίαν καί ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ. *Οἱ Ἱερεῖς Σου, ύριε, ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.*

**Εὐαγγέλιον Ὁσιακόν (Λουκᾶ ιβ′ 8 – 12).**

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείας, Ἐλεῆμον,…

Καί νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον,…

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός,…*

Χαίροις Ἱερώνυμε, θεομακάριστε Πάτερ, τῆς σοφίας ὄργανον, τοῦ Ἁγίου Πνεύματος, ἐνδιαίτημα· τάς χρηστάς ἔλαβες, δωρεάς πλουσίως, καί συνέγραψας τάς βίβλους σου· αὐτάς κατέχοντες, ὥσπερ θησαυρόν ἀνεξάντλητον, μανθάνομεν τά κρείττονα, καί τῆς σωτηρίας ἐχόμενα· θείαις οὖν εὐχαῖς σου, ἀξίωσον ἐργάζεσθαι ἡμᾶς, τά τοῦ Κυρίου προστάγματα, ὡς δοῦλοι εὐγνώμονες.

**Ο Ιερεύς Σώσον ο Θεός τον λαό σου…**

Ὠιδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τίς ἀξίως ὑμνήσει, Ἱερώνυμε Πάτερ ἀξιοθαύμαστε, τά ἤθη τά χρηστά σου, τόν ἄμεπτον σου βίον, καί τά θεῖα χαρίσματα, δι'ὧν Χριστός ὁ Θεός, ἐν γῇ ἐδόξασέ σε.

Ἱερώνυμος αὖθις, τῆς σοφίας ὁ μύστης ὁ ἱερώτατος, παρέστη ἐν τῷ μέσῳ, ἡμῶν διαφερόντως, ὡς τρυφήν προτιθέμενος, τάς ἐκ τῶν βίβλων αὐτοῦ, σοφάς διδασκαλίας.

Μακαρίζομεν πόθῳ, τούς ὁσίους σου τρόπους, ὦ Ἱερώνυμε· ὡδήγησας ἐκ Ῥώμης, σύν Παύλᾳ Εὐστοχίαν, καί παρθένους πεντήκοντα, εἰς Παλαιστίνην μονήν, συστήσασαι ἁγίαν.

Θεοτοκίον.

Ὡς γλυκύ σου τό κάλλος, ὡς ὡραῖα προσώπου σου ἡ εὐπρέπεια, ὡς θεία ἡ τιμή σου, ὡς ἄφραστος ἡ δόξα, Παναγία θεόνυμφε· Ἀγγελικῶν γάρ χορῶν, προέχεις ἐξαιρέτως.

Ὠιδή η΄. Τόν Βασιλέα.

Ἱερωνύμου, τοῦ θεοφόρου Ὁσίου, τήν σεμνήν καί λαμπράν πολιτείαν, Ἄγγελοι ὁρῶντες, ἐξέστησαν ἐν θάμβει.

Σκεῦος ἐγένου, τῆς ἐκλογῆς τῆς τιμίας, Ἱερώμυμε Ὅσιε Πάτερ, εἰς διακονίαν, Θεοῦ κατηρτισμένον.

Ἰδών ψυχῆς σου, τό ταπεινόν τε καί πρᾶον, ὁ Θεός Ἱερώνυμε Πάτερ, ἔθετό σε λύχνον, Αὐτοῦ τῇ Ἐκκλησίᾳ.

Θεοτοκίον.

Δεῦτε συμφώνως, αἱ γενεαί τῶν ἀνθρώπων, μακαρίσωμεν ὕμνοις ἐνθέοις, τήν Ὑπεραγίαν, Παρθένον Θεοτόκον.

Ὠιδή θ΄. Κυρίως Θεοτόκον.

Ὡς χόρτον ἐθεώρεις, δόξαν τήν τοῦ κόσμου, ὦ Ἱερώνυμε Πάτερ, διό νουνεχῶς, αὐτήν ἀφῆκας φορέσας, σχῆμα τό ἅγιον.

Ῥημάτων Γρηγορίου, θείου Θεολόγου, ὡς ἐπακούσας ἐγένου αὐτοῦ μαθητής, καί ἰσοστάσιος δόξῃ, ὦ Ἱερώνυμε.

Ἀγάλλου Δαλματία, τοῦ Ἱερωνύμου, τοῦ πανενδόξου υἱοῦ σου τῇ θείᾳ τιμῇ, καί ἡ Χριστοῦ Ἐκκλησία, πᾶσα εὐφράνθητι.

Θεοτοκίον.

Συνάμα τῷ Ἀγγέλῳ, χαῖρε Σοί βοῶμεν, θεοκυῆτορ Μαρία καιίγάρ διά Σοῦ, αἱ γενεαί τῶν ἀνθρώπων, χάριν ἐλάβομεν.

**Αὖθις τό·**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

**Καί τά παρόντα Μεγαλυνάρια, ὧν ἡ ἀκροστιχίς· *Χαῖρε Ὅσιε.***

Χαίροις Ἱερώνυμε ἱερέ, δόξα τῶν Ὁσίων, τῶν Δικαίων ἡ ἐκλογή· χαίροις τῆς σοφίας διδάσκαλε καί μύστα, τῆς γνώσεως ταμεῖον, ὑπερπληρέστατον.

Ἄγγελοι καί ἄνθρωποι συνωδά, τοῦ Ἱερωνύμου, μεγαλύνουσιν ἐν ᾠδαῖς, τήν εὐπρεπεστάτην ἑόρτιον ἡμέραν, τό χαῖρε προσφωνοῦντες, τούτῳ ἐν χάριτι.

Ἴδετε υἱόν μου τόν εὐκλεῆ, κράζει Δαλματία, καυχωμένη μητροπρεπῶς· τοῦτον ὥσπερ λύχνον,

προτέθηκα ἐπ' ὄρους, τοῦ λάμπειν και φωτίζειν, κόσμου τά πέρατα.

Ῥήματα τά πάνσοφα καί σεπτά, τά τοῦ Γρηγορίου, Θεολόγου ὡς ὁδηγόν, ἔσχες ἐν τῷ βίῳ, διό τῆς ἀληθείας, ἐβάδισας τήν τρίβον, ὦ Ἱερώνυμε.

Ἔγραψας χειρί σου μετά σπουδῆς, βίβλους θεοσόφους, Ἱερώνυμε και αὐτάς, ἔδωκας ὡς πλοῦτον καλῆς κληρονομίας, τοῖς θέλουσι μανθάνειν, ὅσα ὠφέλιμα.

Ὅλῃ σου καρδίᾳ, ὅλῃ ψυχῇ, ὅλῃ σου προθέσει, Ἱερώνυμε καί σπουδῇ, ἔστερξας τῶν πάντων, Θεόν καί Βασιλέα, Αὐτῷ ἀκολουθήσας, μετά πιστότητος.

Σέβω Ἱερώνυμε καί τιμῶ, σοῦ τήν πολιτείαν, τήν θεάρεστον καί σεμνήν· ὕμνοις μεγαλύνω τάς σάς μεγαλουργίας, τήν δόξαν σου θαυμάζων, τήν ὑπερθαύμαστον.

Ἴσχυσας βαστᾶσαι ἀδικιῶν, συκοφαντιῶν τε, τάς πικρίας καί τά δεινά· ἔχων δέ Κυρίου, τήν πίστιν ὡσεί ὅπλον, ἐξῆλθες νικηφόρος, ὦ Ἱερώνυμε.

Ἔπαινόν σοι πλέκομεν εὐμενῶς, Πάτερ τῶν Πατέρων, Ἱερώνυμε θαυμαστέ, σοῦ τάς ἀριστείας τιμῶντες μετά πόθου, καί σοῦ τά μεγαλεῖα, ἐγκωμιάζοντες.

**Εἶτα·**

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον και τά συνήθη Τροπάρια.**

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

**Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν**

**ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Ὁσίου καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια· Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Χαίροις, τῆς σοφίας ἐραστά, τῆς θεολογίας ὁ μύστης, φιλοσοφίας ὁ νοῦς, ἄνθος εὐωδέστατον τῆς θείας γνώσεως, Ἱερώμυμε Ὅσιε, Πατέρων τό κλέος, βάσις καί ἑδραίωμα τῶν μοναζόντων τε· χαίροις τῆς ἐρήμου ὁ λύχνος, φαίνων τοῖς ἐν σκότει κειμένοις, τοῦ Εὐαγγελίου τήν ἀλήθειαν.

Σέβω, Ἱερώνυμε σοφέ, καί ἐν ἐγκωμίοις καί ὕμνοις, χρεωστικῶς ἐπαινῶ, χεῖρα τήν τιμίαν σου, δι᾽ ἧς συνέγραψας, ἐν σοφίᾳ τάς βίβλους σου, καί ταύτας παρέθου, πᾶσιν ὡς πολύτιμον, ζωῆς θησαύρισμα, ὅπως μελετῶντες ἐκ πόθου, τάς τῶν διδαγμάτων σου ῥήσεις, γνῶμεν εὐσεβείας τά μυστήρια.

Χαίρει, Δαλματία μητρικῶς, Πάτερ Ἱερώνυμε μάκαρ, τῇ σῇ φαιδρᾷ ἑορτῇ, καί ἡ Παλαιστίνη τε, συνεπαγάλλεται· ἐν αὐτῇ γάρ ἀνήγειρας, μονάς σεβασμίας, καί τό τῆς ἀσκήσεως, διῆλθες στάδιον· χαίρει καί χορός τῶν παρθένων, ἅς σύν Εὐστοχίᾳ καί Παύλᾳ, ἐν μοναστηρίῳ καθωδήγησας.

**Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Ἐν σπουδῇ μαθητεύσας, ἱερέ Ἱερώνυμε, παρά Γρηγορίῳ τῷ πάνυ, Θεολόγῳ ἠρεύνησας, σοφίας οὐρανίου τόν βυθόν, τάς ῥήσεις ἑρμηνεύσας τῶν Γραφῶν· τάς δέ βίβλους σου πλουτοῦμεν ὡς θησαυρόν, χειρί σου ἅς συνέταξας· χαίροις, τῶν Ἱερέων ἡ τιμή· χαίροις, Ὁσίων σέμνωμα· χαίροις

σεμνῶν παρθένων ὁδηγέ, τῆς Παῦλας Εὐστοχίας τε.

**Δίστιχα ἀκροτελεύτια.**

*Ἐν ἀγαθοῖς κατεύθυνον τά διαβήματά μου,*
*Ὅσιε Ἱερώνυμε, διδάσκαλε σοφίας,*
*ὡς ἄν εἰς τρίβον τοῦ Θεοῦ, βαδίζω ἀπροσκόπτως*
*καί φθάσω εἰς τάς φωτεινάς σκηνάς τῆς θείας δόξης,*
*βοᾷ σοι ὕμνοις καί ᾠδαῖς ἡ πένης Ἰσιδώρα,*
*ἄς ἔγγραφον τῇ προτροπῇ καί τῇ θερμῇ αἰτήσει,*
*Σπυρίδωνος τοῦ δούλου σου, τοῦ σέβοντός σε πόθῳ,*
*ἱκέτου Γεωργίου τε Ἱεροδιακόνου,*
*πάνυ εὐλαβουμένου σου τήν θείαν πολιτείαν*
*καί ἐκζητοῦντος πρός Θεόν τάς θείας σου πρεσβείας,*
*ἵνα ἐλέους παρ' Αὐτοῦ τυχόντες τοῦ μεγάλου,*
*Αὐτόν ἀεί δοξάζωμεν, τόν ἐν Τριάδι Ἕνα,*
*Πατέρα ἅμα καί Υἱόν, σύν Πνεύματι Ἁγίῳ,*
*ᾧ πρέπει ἡ προσκύνησις αἰῶνας εἰς αἰώνων.* Ἀμήν.